πολίταις ἔπαθον,
ἰὼ μεγάλα τοι κόραι δυστυχεῖς
Νυκτὸς ἀτιμοπενθεῖς.
*ΑΘ.* ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν.
οὐ γὰρ νενίκησθ᾽, ἀλλ᾽ ἰσόψηφος δίκη
ἐξῆλθ᾽ ἀληθῶς, οὐκ ἀτιμίᾳ σέθεν.
ἀλλ᾽ ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν,
αὐτός θ᾽ ὁ χρήσας αὐτὸς ἦν ὁ μαρτυρῶν,
ὡς ταῦτ᾽ Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν.
ὑμεῖς δέ τε τῇδε γῇ βαρὺν κότον
σκήψητε, μὴ θυμοῦσθε, μηδ᾽ ἀκαρπίαν
τεύξητ᾽ ἀφεῖσαι δαιμόνων σταλάγματα,
βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους.
ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι
ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς
λιπαροθρόνοισιν ἡμένας ἐπ᾽ ἐσχάραις
ἕξειν, ὑπ᾽ ἀστῶν τῶνδε τιμαλφουμένας.
*antistr.* 1. *ΧΟ.* ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους
καθιππάσασθε κἀκ χερῶν εἵλεσθέ μου.
ἐγὼ δ᾽ ἄτιμος ἡ τάλαινα βαρύκοτος
ἐν γᾷ τᾷδε, φεῦ,
ἰὸν ἰὸν ἀντιπενθῆ
μεθεῖσα καρδίας σταλαγμὸν χθονὶ
ἄφορον· ἐκ δὲ τοῦ
λειχὴν ἄφυλλος, ἄτεκνος,
ἰὼ δίκα, πέδον ἐπισύμενος

779. ὑπὸ τῶν πολιτῶν ἔπαθον. ἔμιξε τῷ θρήνῳ τὴν τιμωρίαν τεχνικῶς. εἰπὼν γὰρ δύσοιστα ἔπαθον ἐπήγαγε πολίταις, ἵνα ᾖ, πολίταις δύσοιστα ὄντα. 780. κόραι Νυκτός. 785. ἔφασκε γὰρ ὁ Ἀπόλλων γνώμῃ Διὸς μαντεύεσθαι. 790. σταλάγματα αἰχμαί εἰσι βιβρώσκουσαι τὰ σπέρματα.

---

782. *πίθεσθε* Turnebus: *πείθεσθε* M. 786. *ὁ χρήσας* Turnebus: *ὁ..θήσας*, correctura factum ex *ὀρθήσασ* iudice Duebnero, M. 789. *σκήψητε* Elmsleius: *σκήψησθε* M. 790. *πλευμόνων* Wakefieldus. *γρ. στενάγματα m.* 800. *ἀντιπαθῆ* M. 801. 2. *χθονιαφόρον* M. 803. *λιχὴν* M. 804. *ἐπεσσύμενοσ* M.